GREK 2051 (Spring 2011)

# BIBLICAL READINGS

supplement to Shelmerdine 2nd edition

## Chapter 34

The end of Revelation.

12 Ἰδοὺ ἔρχομαι ταχύ, καὶ ὁ μισθός μου μετ' ἐμοῦ, ἀποδοῦναι ἑκάστῳ ὡς τὸ ἔργον
ἐστὶν αὐτοῦ. 13 ἐγὼ τὸ Ἄλφα καὶ τὸ Ὦ, ὁ πρῶτος καὶ ὁ ἔσχατος, ἡ ἀρχὴ καὶ τὸ τέλος.
14 Μακάριοι οἱ πλύνοντες τὰς στολὰς αὐτῶν, ἵνα ἔσται ἡ ἐξουσία αὐτῶν ἐπὶ τὸ
ξύλον τῆς ζωῆς καὶ τοῖς πυλῶσιν εἰσέλθωσιν εἰς τὴν πόλιν. 15 ἔξω οἱ κύνες καὶ οἱ
φάρμακοι καὶ οἱ πόρνοι καὶ οἱ φονεῖς καὶ οἱ εἰδωλολάτραι καὶ πᾶς φιλῶν καὶ ποιῶν
ψεῦδος. 16 Ἐγὼ Ἰησοῦς ἔπεμψα τὸν ἄγγελόν μου μαρτυρῆσαι ὑμῖν ταῦτα ἐπὶ ταῖς
ἐκκλησίαις. ἐγώ εἰμι ἡ ῥίζα καὶ τὸ γένος Δαυίδ, ὁ ἀστὴρ ὁ λαμπρὸς ὁ πρωϊνός. 17
Καὶ τὸ πνεῦμα καὶ ἡ νύμφη λέγουσιν, Ἔρχου. καὶ ὁ ἀκούων εἰπάτω, Ἔρχου. καὶ ὁ
διψῶν ἐρχέσθω, ὁ θέλων λαβέτω ὕδωρ ζωῆς δωρεάν. 18 Μαρτυρῶ ἐγὼ παντὶ τῷ
ἀκούοντι τοὺς λόγους τῆς προφητείας τοῦ βιβλίου τούτου· ἐάν τις ἐπιθῇ ἐπ' αὐτά,
ἐπιθήσει ἐπ' αὐτὸν ὁ θεὸς τὰς πληγὰς τὰς γεγραμμένας ἐν τῷ βιβλίῳ τούτῳ· 19 καὶ
ἐάν τις ἀφέλῃ ἀπὸ τῶν λόγων τοῦ βιβλίου τῆς προφητείας ταύτης, ἀφελεῖ ὁ θεὸς τὸ
μέρος αὐτοῦ ἀπὸ τοῦ ξύλου τῆς ζωῆς καὶ ἐκ τῆς πόλεως τῆς ἁγίας, τῶν
γεγραμμένων ἐν τῷ βιβλίῳ τούτῳ. 20 Λέγει ὁ μαρτυρῶν ταῦτα, Ναί, ἔρχομαι ταχύ.
Ἀμήν, ἔρχου, κύριε Ἰησοῦ. 21 Ἡ χάρις τοῦ κυρίου Ἰησοῦ μετὰ πάντων.

(Ἀποκάλυψις 22.12-21)

ἅγιος –α –ον holy
ἀποδίδωμι give, pay
ἀρχή -ῆς ἡ beginning
ἀστήρ –έρος ὁ star
ἀφαιρέω –ελῶ -εῖλον take away
βιβλίον –ου τό book
γένος –ους τό race, family line
διψάω be thirsty
δωρεά -ᾶς ἡ gift
εἰδωλολάτρης –ου ὁ servant of idols
ἐκκλησία –ας ἡ church
ἐξουσία –ας ἡ authority, right
ἐπιτίθημι put on, add
ἔσχατος –η –ον last
ζωή -ῆς ἡ life
θέλω = ἐθέλω
ἰδού look!
κύων κυνός ὁ dog
κύριος –ου ὁ lord
λαμπρός –ά –όν shining
μακάριος –α –ον blessed
μαρτυρέω witness
μέρος –ους τό part, portion
μισθός –οῦ ὁ pay
ναί yes
νύμφη –ης ἡ bride
ξύλον –ου τό wood, tree
πληγή -ῆς ἡ beating, plague
πλύνω wash
πνεῦμα –ατος τό breath, spirit
πόρνος –ου ὁ sexual deviant
πρωϊνός –ή –όν morning
προφητεία –ας ἡ prophecy
πυλών -ῶνος ὁ gateway
ῥίζα –ης ἡ root
στολή –ῆς ἡ robe
φάρμακος –ου ὁ sorcerer
φονεύς –έως ὁ murderer